# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ
# ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΕΝ ΚΥΠΡΩι ΑΓΙΟΥΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Κοντάκιον. Ἦχος πλ δ΄. Τῇ Ὑπερμάχῳ.

Τοὺς ἐκ τῆς Κύπρου ὡς ἀστέρας ἀναλάμψαντας καὶ τοὺς ἐν ταύτῃ ἀλλαχόθεν διαπρέψαντας ἐν μιᾷ ὑμνολογήσωμεν ὁμηγύρει. Τοὺς τοῦ Λόγου Ἀποστόλους τε καὶ Μάρτυρας, Ἱεράρχας καὶ Ὁσίους τοὺς θεόφρονας τούτοις λέγοντες˙ Χαίροις Ἅγιον ἄθροισμα.

Ἄναρχε Θεαρχία καὶ Μονὰς Τρισαγία, σοφίας μοι παράσχου ἀκτῖνα (τρίς)˙ ὡς ἂν καλῶς ἐπὶ τὸ αὐτὸ, τοὺς ἐν Κύπρῳ μακαρίσω Ἁγίους Σου καὶ λόγον μοι πρυτανεύσον, βοῆσαι πρὸς αὐτοὺς τοιαῦτα.

Χαίρετε, Κύπρου οἱ πολιοῦχοι,
χαίρετε κόσμου οἱ λαμπαδοῦχοι
Χαίρετε Ἀριστόβουλε καὶ Ἀθανάσιε,
Χαῖρε, Αὐξέντιε καὶ Ἀναστάσιε.
Χαῖρε, Ἄμμων καὶ Αὐξίβιε καὶ Ἀρκάδιε σοφέ,
Χαῖρε, Χύτρων Ἀθανάσιε καὶ Ἀββακοὺμ στεῤῥέ.
Χαῖρε, Ἀγαπίῳ, Ἀθανάσιε μάρτυς,
χαῖρε, Ἀνδρονίκῳ, ὁ Ἀλέξανδρος αὖθις
Χαῖρε, Ἀλέξιε σὺν Ἀριστίωνι,
Χαῖρε, Ἀπρίων σὺν τῷ Ἀρτέμωνι
Χαῖρε,Ἀρσινόης ἐπίσκοπε Ἀρκάδιε,
Χαῖρε, Αὐξουθένιε καὶ θεῖε Ἀκάκιε.

**Χαίροις ἅγιον ἄθροισμα.**

Βίου τοῦ ἐναρέτου ὁδηγοὶ καὶ φωστῆρες καὶ τύποι ἀρετῶν οὐρανίων καὶ παντὸς ἀρχέτυπα καλοῦ, κατὰ διαφόρους καιροὺς ἐδείχτηκε οἱ ἐν τῇ Κύπρῳ Ἅγιοι προτρέποντες πάντας κραυγάζειν˙

**Ἀλληλούϊα.**

Γάνυται καὶ χορεύει,τῇ ὑμῶν πολιτείᾳ καὶ θείων δωρεῶν τῇ εὐκλειᾳ Κύπρος ἡ περίφημος ἀεὶ, οἱ ἐν ταύτῃ πολλαχῶς διαπρέψαντες, καὶ πάντας ὑμᾶς μέλπουσα, πᾶσιν ὑμῖν ὁμοῦ κραυγάζει˙

Χαίρετε, λύχνοι φωτὸς ἀΰλου,
Χαίρετε, σκέυη του Παρακλήτου.
Χαῖρε, Ἀριστόκλεις καὶ Ἀριστοκλιανέ,
Χαῖρε, Ἀμβρόσιε καὶ Ἀλέξανδρε.
Χαῖρε, Ἀποστόλων σύγκληρε ὦ Βαρνάβα ἱερὲ,
Χαῖρε Βαρλαὰμ θεόληπτε καὶ Βασίλειε σοφέ.
Χαῖρε, ἱερὲ Βαρνάβα καὶ Βαλάντιε μάκαρ.
Χαῖρε, δεύτερε Βαρβάβα θεῖε ἀρχιεράρχα.
Χαῖρε, μονῆς Καντάρας Βαρνάβας ὁ πολύαθλος.
Χαῖρε, Βάσης Κοιλανίου Βαρνάβας ὁ θεόληπτος.
Χαῖρε, Γεννάδιε σὺν τῷ Γερασίμῳ,
Χαῖρε, Γεώργιε σὺν τῷ Γελασίῳ.

**Χαίροις ἅγιον ἄθροισμα.**

Δῆμος τροπαιοφόρος καὶ χορὸς θεοφόρος ἐδείχτηκε σαφῶς ἐν τῷ κόσμῳ, ἐν Κύπρῳ διαφόροις καιροῖς πολυειδῶς διαλάμψαντες Ἅγιοι˙ διὸ ὑμῶν τὴν ἕνωσιν, γεραίρουντες Χριστῷ βοῶμεν˙

**Ἀλληλούϊα.**

Ἐξ ἀσκήσεως πόνων, καὶ Μαρτυρικῶν ἄθλων, καὶ Ἱεραρχικῶν παλαισμάτων, εἰς μίαν συνήλθετε χαρὰν Ἀπόστολοι, Ἱεράρχαι καὶ Μάρτυρες, σὺν Ὁσίοις ἅπασι, διὸ ἡ Κύπρος ὑμῖν κραυγάζει˙

Χαίρετε, Ἄγγελοι σαρκοφόροι,
Χαίρετε, ἄνθρωποι θεοφόροι.
Χαῖρε, Γρηγόριε καὶ θεῖε Γεώργιε,
Χαῖρε Γεώργιε μάρτυς νεόαθλε.
Χαῖρε, μάκαρ Γεώργιε Χοζεβῖτα ἱερέ,
Χαῖρε , ἄλλε Γεώργιε καὶ σοφέ Δομέτιε.
Χαῖρε, σὺν τῷ Διδύμῳ, μάρτυς Δημητριανέ,
Χαῖρε, σὺν τῷ Διομήδει, ἱερὲ Δαμιανὲ.
Χαῖρε, Ἐλπίδιε σὺν τῷ Ἐπαφροδίτῳ
Χαῖρε, μάκαρ Ἐπιφάνιε σὺν τῷ Εὐαγρίῳ.
Χαῖρε, Εὐθύμιε σὺν Εὐρασίῳ,
Χαῖρε, Ἑρμόγενες σὺν Εὐτυχίῳ.

**Χαίροις ἅγιον ἄθροισμα.**

Ζήσαντες μακαρίως έν Χριστῷ τῷ Κυρίῳ, ἐν χρόνοις διαφόροις ἐν Κύπρῳ, ἔργῳ καὶ λόγῳ καὶ ἀρετῇ καὶ δωρεῶν ποικιλίᾳ καὶ θαύμασι, τὴν Ἐκκλησίαν ἅπασαν εὐφραίνετε Θεῷ βοῶσαν˙

**Ἀλληλούϊα.**

Ἤστραψαν ἐκ τῆς Κύπρου ὡς πολύφωτα ἄστρα, ἀκτῖσιν ἀρετῶν πολυτρόπων καὶ ἐν ταύτῃ φαίνουσι λαμπρῶς, καὶ τὰ τῆς γῆς πυρσεύουσι πληρώματα˙ ἀεὶ γὰρ καταυγάζουσι τοὺς πρὸς αὐτοὺς θερμῶς βοῶντας˙

Χαίρετε, ἄστρα τῆς Ἐκκλησία,
Χαίρετε, βάσεις τῆς εὐσεβείας.
Χαῖρε, ὁ Ἑρμόλαος καὶ ὁ Εὐλάλιος,
Χαῖρε, ὁ Εὐφημιανὸς καὶ ὁ Εὐστάθιος.
Χαῖρε, Ειρηνικὲ ἅμα Ἐπαφροδίτῳ.
Χαῖρε, σὺν Ἐπίκτητῳ, ὁ Κυρηνείας Ζήνων,
Χαῖρε, ὁ Ἡσαϊας τῆς μονῆς Κύκκου δομήτωρ
Χαῖρε, Ἡράκλειε καὶ Ἡλιόφωτε,
Χαῖρε, Ἡρακλείδιε ἀστήρ πολύφωτε.
Χαῖρε, Θεόδοτε σὺν τῷ Θεοπρόβῳ,

Χαῖρε, Θεόκτιστε σὺν τῷ Θεοδώρῳ.

**Χαίροις ἅγιον ἄθροισμα.**

Θεῖοι μύσται Κυρίου καὶ σοφοί Ἱεράρχαι, και Ὅσιοι και Μάρτυρες πάντες, οἱ ταῆς Κύπρου τηλαυγεῖς πυρσοί και τῆς Ἐκκλησίας πάσης ὑπέρμαχοι, παθῶν ἀχλύος ῥύσασθε τους ἐν πίστει Χριστῷ βοῶντας˙

**Ἀλληλούϊα.**

Ἰαμάτων πλημμύραν, θεϊκῇ ἐπομβρίᾳ, καὶ πᾶσιν ἀληθῶς σωτηρίαν, οἱ τάφοι και τά σκήνη ὑμῶν διά παντός ἀναβλύζουσιν Ἅγιοι, καὶ πάντας θεραπεύσουσι , τους ἐκ πόθου ὑμῖν βοῶντας˙

Χαίρετε , κρῆναι τῶν ἰαμάτων,
Χαῖρε, ῥεῖθρα τῶν χαρισμάτων
Χαῖρε, Θεόσέβιε καὶ Θεοδόσιε.
Χαῖρε, σὺν Θεράποντι καὶ Θεοφύλακτε.
Χαῖρε,Ὅσιε Θεόδουλε διὰ Χριστὸν Σαλέ,
Χαῖρε, Ὅσιε Θεόφανες τῆς Σολέας οδηγέ.
Χαῖρε τῆς Ἀμαθοῦντος Θεόπομπε, κανών ποιμαντορίας,
Χαῖρε, ἅγιε Θέρισσε, φωστὴρ τῆς Καρπασίας.
Χαῖρε, τῆς Μονῆς Καντάρας, Ἰωάννης ὁ ἠγοῦμενος.
Χαῖρε, Ἰωννη ὁ λαμπρυνθεῖς τὸν Κύριον μιμούμενος.
Χαῖρε, Ἰωάννη Ἐλεήμων, τοῦ ἐλέους ὁ κρουνός,
Χαῖρε, μέγιστε Ἱλαρίων,ὁ θαυμάτων αὐτουργός.

**Χαίροις ἅγιον ἄθροισμα.**

Κλήματα ἀφθαρσίας οἶνον τὸν τάς καρδίας εὐφραίνοντα βλυστάνοντες πᾶσιν, ὤφθητε Ἅγιοι ἀληθώς, καὶ τῶν παθῶν τὴν μέθην, ἀεὶ δὲ σωφρονίζετε τοῦ βοᾶν ἡμᾶς τῇ Τριάδι˙

**Ἀλληλούϊα.**

Λάμψαντες ἐν τῷ κόσμῳ, οἱ μέν λόγου δυνάμει ὡς θεία μαθητεία Σωτῆρος, οἱ δὲ Ἰεραρχίας φωτὶ καὶ μαρτυρίου ἄλλοι κατορθώμασιν, ἐν ἀσκήσει δὲ ἕτεροι, λαμπρύνετε τοῦς ἐκβοῶντας˙

Χαῖρετε, φῶτα βίου ἀρίστου,
Χαίρετε, ἄνθη τοῦ Παραδείσου.
Χαῖρε, Ἰωάννη οὗ τὸ σκῆνος ἄφθορος,
Χαῖρε Ἰωσὴφ οὗ τὸ κλέον ἄφθιτον.
Χαῖρε, Ἱλαρίων ἕτερε καὶ Ἰούλιε ὁμοῦ,
Χαῖρε, Ἰωάννη ἀρχιεπίσκοπε ὁ θεράπων τοῦ Χριστοῦ.
Χαῖρε, ὁ Μοναγρίου ἡγούμενος Ἰωάννης ὁ Λαμπαδιστής.
Χαῖρε, ὁ Κενδέας ὁ θεοφόρητος,
Χαῖρε, Καλανδίων ὀ Θεόληπτος.
Χαῖρε, Κυριακὲ καὶ Κωνσταντῖνε,
Χαῖρε, Κασσιανέ καὶ Κωνσταντία.

**Χαίροις ἅγιον ἄθροισμα.**

Μίαν ἔχοντες γνώμην, Ἅγιοι θεοφόροι, εἰ καὶ διϊστασθε ἐν τοῖς χρόνοις, εἰς μίαν χορείαν παρ' ἡμῶν, ὡς ἀδελφοί κατὰ πνεῦμα συνήχθητε˙ ἐν μιᾷ ὑμνωδίᾳ γάρ Θεόν αἰνεῖτε ἐκβοῶντες˙

**Ἀλληλούϊα.**

Νῆσος ἡ τῶν Κυπρίων ὡς καλλίτεκνος Μήτηρ προσάξασα ὑμᾶς τῷ Κυρίῳ, ὡς θείας και τερπνὰς ἀπαρχάς, τὰς δοθείσας ὑμῖν καρποῦται χάριτας, καὶ συγκαλεῖται ἅπαντας γεραίνειν ὑμᾶς καὶ κραυγάζειν˙

Χαίρετε, δένδρα τῆς ἀφθαρσίας,
Χαίρετε, ὄργανα τῆς σοφίας.
Χαῖρε, θεοδόξαστε Κόνων μακάριε,
Χαῖρε, Καντάρας Κόνων παναοίδιμε.
Χαῖρε, φίλε Χριστοῦ Λάζαρε, Κιτιέων ὁ Ποιμήν,
Χαῖρε, Λούκιε και Λαυρέντιε και Λεόντιε, σοφοί.
Χαῖρε, Μᾶρκε, Μαρία, Ἀποστόλων οἱ μύσται,

Χαῖρε, Μνάσων και Μύρων, καὶ Μνημόνιε θεῖε.
Χαῖρε, Μελέτιε και Μακάριε,
Χαῖρε, Μακεδόνιε και Μάξιμε.
Χαῖρε, μάρτυς Μάμα , σόν σκῆνος τῇ Κύπρῳ δωρησάμενος,
Χαῖρε, ἱερομάρτυς Μάρκελλε, τὸν Ἰησοῦν μιμησάμενος.

**Χαίροις ἅγιον ἄθροισμα.**

Ξένα πέλουσιν ὄντως, τῆς ὑμῶν πολιτείας τὰ ἆθλα καὶ ἐπαθλων ὁ πλούτος˙ πᾶσαν γὰρ ἐκπλήττει ἀκοὴν, τὰ παρ' ὑμῶν εἰργασμένα ἐν Πνεύματι˙ ὑπερφυοῦς γὰρ χάριτος ἐπλησθητε ἀναβοῶντες˙

**Ἀλληλούϊα.**

Ὅλη λελαμπρυσμένη ἀρετών ποικιλίαις καὶ θείων δωρεῶν ἀφθονίᾳ τῶν ἐν Κύπρῳ Ἁγίων σου Σωτήρ, ἡ Ἐκκλησία τῷ κόσμῳ δείκνυται, θερμαίνουσα πρὸς πόθον σου τοὺς βοῶντας αὐτοῖς τοιαῦτα˙

Χαίρετε, πάροικοι τῶν γηϊνων,
Χαίρετε, μέτοχοι τῶν ἀϋλων.
Χαῖρε, ἱερόαθλε Ἅγιε Μάρκελλε,
Χαῖρε, Νείλε Μαχαιράδος, Ταμασοῦ ἐπίσκοπε.
Χαῖρε, Νόμων και Νεμέσιε καὶ Νικήτα οἱ κλεινοί,
Χαῖρε, ἔγκλείστε Νεόφυτε μοναστῶν ἡ καλλονή.
Χαῖρε, θεῖε Νικάνωρ διακόνων ἡ λαμπρότης,
Χαῖρε, Νίκων ὁ θεόφρων ὁ ποιμὴν τῆς Ἀρσινόης.
Χαίρετε, οἱ ὑπὸ Ἰωάννην Τριάκοντα καὶ Ἐννέα, οἱ εὐκλεεῖς,
Χαίρετε, Ὁσιομάρτυρες Μονῆς Καντάρας Δέκα καὶ Τρεῖς.
Χαῖρε,Ὀλβιανέ καὶ Ὀνησιφόρε,
Χαῖρε, Ὀρέστα θεοφόρε.

**Χαίροις ἅγιον ἄθροισμα.**

Πόθῳ ἐξυμνεῖν τὰ θαυμάσια τῶν Ἁγίων, τοὺς ἄθλους καὶ τρόπαια καὶ πάλιν συστέλλομαι˙ὅταν γὰρ αὐτὰ ἐξαριθμήσαι βουληθῶ ὑπὲρ ψάμμον εὑρίσκονται πληθυνόμενα, διὸ ἐν φόβῳ πεφθακώς ᾄδω τῷ Κυρίῳ˙

**Ἀλληλούϊα.**

Ῥώμῃ τῇ θεοσδότῳ, διανύσαντες πάντες, τὸν κάλλιστον τοῦ βίου ἀγῶνα, οἱ μὲν αἵματι μαρτυρικῷ, οἱ δὲ τέλει εἰρηνικῷ ἀνήλθετε πρὸς δόξαν ὑπερκόσμιον πρεσβεύειν ὑπὲρ τῶν βοώντων˙

Χαίρετε, στῆλαι κατορθωμάτων,
Χαίρετε, ἔμπλεοι χαρισμάτων.
Χαῖρε, θεηγόρε Παῦλε Ἀπόστολε, τῶν Κυπρίων φωτιστής,
Χαῖρε, πανάριστε Πανάρετε, ὁ Ποιμὴν καὶ ἀσκητής.
Χαῖρε, Παμφοδίτα καὶ Παφνούτιε ἐκ τῶν Ἡλιοφώτων,
Χαῖρε, Πανηγύριε καὶ Πήγων καύχημα τῶν μοναζόντων.
Χαῖρε, Πολυχρόνιε καὶ Πάππε, γνώμονες ποιμαντορίας,
Χαῖρε, νεομάρτυς Πολύδωρε, κόσμημα τῆς Λευκωσίας.
Χαῖρε, Ῥηγῖνε θεοτίμητε, καρτερόψυχε ἀθλητά,
Χαίρε, Ῥόδων παναοίδιμε, τοῦ Σατᾶν ὀλοθρευτά.
Χαῖρε, θαυματόβρυτε Σπυρίδων, κοινωνέ τῆς ἀφθαρσίας,
Χαῖρε, Σωζόμενε καὶ Σωσικράτη, ἱεράρχαι Καρπασίας.

**Χαίροις ἅγιον ἄθροισμα.**

Σκέπην καὶ ἰατῆρας, ἀρωγοὺς καὶ φωστῆρας καὶ φύλακας, ἐφόρους καὶ ῥύστας, ἡ Κύπρος κεκτημένη ὑμᾶς, πάσης βλάβης δι' ὑμῶν ἀεὶ ῥύεται, διὸ καὶ χαίρει ἐν ὑμῖν ψάλλουσα πιστῶς τῇ Τριάδι˙

**Ἀλληλούϊα.**

Τοῦ λαμπροῦ ὑμῶν βίου ἡ ἐξαίρετος χάρις, διέδραμεν εἰς πᾶσαν τὴν κτίσιν˙ καὶ πάντες τὰς δοθείσας ὑμῖν χορηγίας θαυμάζουσι, μιᾷ δὲ γλώσσῃ Ἅγιοι, ἐκβοῶμεν ὑμῖν τοιαῦτα˙

Χαίρετε, σάλπιγγες εὐσεβείας,
Χαίρετε, σύντριμμα ἀσεβείας.
Χαῖρε, Σωτήρ, Σπυρίδων καὶ Σαπρίκιος, ὄρπηκες ἀθανασίας,
Χαῖρε, Σαλαμάνης καί Σωτήριχος, σύσκηνοι θείας εὐκλείας.
Χαῖρε, Ὅσιε Σωζόμενε τοῦ Κυρίου κοινωνέ,
Χαῖρε, ἔνδοξε Συνέσιε Καρπασίας ἀρωγέ.
Χαῖρε, Σώζων θεόφρον ὁ νομίμως ἀθλήσας,
Χαῖρε, Τίτε παμμάκαρ ὁ τὸν Παῦλον φιλήσας.
Χαῖρε, μάρτυς Τιμόθεε τῆς ἁγιας Μαύρης σύνευνε,
Χαῖρε, ἱερὲ Τριφύλλιε, τῆς Λήδρας ἔνδοξε ἐπίσκοπε
Χαῖρε, ποιμὴν Ἀμαθοῦντος ὁ Τύχων,
Χαῖρε, ἀεὶ θεοδόξαστε Τίμων.

**Χαίροις ἅγιον ἄθροισμα.**

Ὕμνοις ἐπινικίοις καὶ ᾠδαῖς χαρμοσύνοις, ὑμνοῦμεν ὑμᾶς Ἅγιοι ἤδη καὶ ἕκαστον καὶ πάντας ὁμοῦ˙ καὶ τοὺς ἀγῶνας ὑμῶν μακαρίζομεν, δι' ὧν Χριστὸν τὸν Κύριον δοξάζοντες θερμῶς βοῶμεν˙

**Ἀλληλούϊα.**

Φέγγει τῷ ἀπροσίτῳ, ἐλλαμφθέντες ἀΰλως τῆς δόξης τοῦ Θεοῦ καὶ Σωτῆρος, φωτοειδεῖς καὶ θεοειδεῖς καῖ πλήρεις χρηστότητος πᾶσιν ὤφθητε, ῥυθμίζοντες μακάριοι τοὺς ἐκβοῶντας ὑμῖν τοιαῦτα˙

Χαίρετε, τύποι ἐνθέων ἔργων,
Χαίρετε, σύμμορφοι τών Ἀγγέλων.
Χαῖρε, Τυχικέ Ἀπόστολε, ὁ τοῦ Παύλου φοιτητής,
Χαίρε, ἱερέ Φιλάγριε, ὁ τοῦ Πέτρου μαθητής.
Χαῖρε, Φίλων ἱεράρχης Καρπασίας ὁ σοφός,
Χαῖρε, Φώτιος ὁ ὅσιος, ὁ τῶν ἄνω θεωρός.
Χαῖρε, Φιλονείδης ὁ ἀρχιθύτης καὶ μάρτυς,
Χαῖρε, ὁ Φυλάριος, της Πάφου ἱεράρχης.

Χαῖρε, ὁσία Φωτεινή, Καρπασέων ἀγλάϊσμα,
Χαῖρε, ὅσιε Φωκίων, τῆς Κύπρου τὸ ἥδυσμα.
Χαῖρε, Χαρίτων καὶ Χριστοφόρος, βότρυες τῆς ἀσκήσεως,
Χαῖρε, Χριστόφορος ὁ ἄλλος, σάλπιγξ τῆς φρονήσεως.

**Χαίροις ἅγιον ἄθροισμα.**

Χιλιάσιν Ἀγγέλων καὶ Ἁγίων ἁπάντων, συνόντες ἐν ὑψίστοις τοῖς δήμοις, πρεσβεύετε θερμῶς σὺν αὐτοῖς οἱ ἐν τῇ Νήσῳ Κύπρῳ πάντες Ἅγιοι, ὡς νῦν ἐμνημονεύσαμεν, ὑπὲρ ἡμῶν τῶν ἐκβοώντων˙

**Ἀλληλούϊα.**

Ψάλλοντες ἐν αἰνέσει, τὰς ὑμῶν ἀριστείας γεραίρομεν ὑμᾶς ὁμοφρόνως. Ἀλλ' ὡς κληρονόμοι τοῦ Χριστοῦ, τῆς ἐν αὐτῷ χαρᾶς καταξιώσατε καὶ ἡμᾶς, ὢ πανένδοξοι, τοὺς πάντοτε ὑμῖν βοῶντας˙

Χαίρετε, ἔφοροι τῶν Κυπρίων,
Χαίρετε, καύχημα εὐσεβούντων.
Χαῖρε, Ἀποστόλων χορὸς θεοσύλλεκτος,
Χαῖρε, φυτεία εὐσεβείας πολύκαρπος.
Χαῖρε, Ἀθλοφόρων σύστημα στρατιῶται τοῦ Χριστοῦ,
Χαῖρε, τῶν Μαρτύρων σύνταγμα καθαιρέται τοῦ ἐχθροῦ.
Χαῖρε, Ἀρχιερέων ἱερώτατος δῆμος,
Χαῖρε, τὸ τῶν Ὁσίων ὁσιώτατον στίφος.
Χαῖρε, χορὸς γνωστῶν ὁ θεόπλοκος,
Χαῖρε, πληθύς ἀνωνύμων ἡ ἔνδοξος.
Χαῖρε, σύστημα τῶν ἐν Κύπρῳ Ἁγίων,
Χαῖρε, πρὸς ὁ ἐκ ψυχῆς ἀτενίζω.

**Χαίροις ἅγιον ἄθροισμα.**

www.tezaurliturgic.ro

**Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ὑμῶν.**

Ὢ λαμπρὰ συναυλία, Ἐκκλησία Ἁγία, ἁπάντων τῶν ἐν Κύπρῳ Ἁγίων! (τρις)˙ δεξάμενοι τὸν πόθον ἡμῶν, τὰς αἰτήσεις ἡμῶν πληροῦτε πάντοτε, καὶ τῷ Χριστῷ προσάξατε σεσωσμένους ἡμᾶς, βοῶντας˙

**Ἀλληλούϊα.**

**Καὶ αὖθις τὸ Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Τοὺς ἐκ τῆς Κύπρου ὡς ἀστέρας ἀναλάμψαντας, καὶ τοὺς έν ταὐτῃ ἀλλαχόθεν διαπρέψαντας, ἐν μιᾷ ὑμνολογήσωμεν ὁμηγύρεί˙ τοὺς τοῦ Λόγου Ἀποστόλους τε καὶ Μάρτυρας, Ἱεράρχας καὶ Ὁσίους τοὺς θεόφρονας˙ τούτοις λέγοντες˙ Χαίροις Ἅγιον ἄθροισμα.